# ΜΑΚΑΡΙΟΥ ΤΟΥ ΜΑΚΡΗ, ΒΙΟΣ ΤΟΥ ΑΓΙΟΥ ΑΝΔΡΕΟΥ, ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΡΗΤΗΣ, ΤΟΥ ΙΕΡΟΣΟΛΥΜΙΤΟΥ

Ἡ ὕπαρξις βιογραφίας τοῦ ἁγίου Ἀνδρέου, ἀρχιεπισκόπου Κρήτης, τοῦ Ἱεροσολυμίτου, ὑπὸ τοῦ κατὰ τὸν δέκατον πέμπτον αἰῶνα ἀκμάσαντος Μακαρίου τοῦ Μακρῆ, ἦτο γνωστὴ πρὸ πολλοῦ. Παράφρασις ταύτης ἐδημοσιεύθη ἤδη τὸ 1863 ὑπὸ Νικοδήμου τοῦ Ἁγιορείτου[1] καὶ πάλιν τὸ 1893 ὑπὸ Δουκάκη[2], σύντομον δ' ἀνάλυσιν αὐτῆς παρέσχεν ὁ Loparev[3], τὸ 1897, ἐξ αὐτοῦ δὲ παρέλαβον οἱ Παπαδόπουλος-Κεραμεύς[4], Vaihlè[5], Ehrhard[6] καὶ Loenertz[7]. Τὸ κείμενον ὅμως παρέμεινεν μέχρι τοῦδε ἀνέκδοτον.

Ἀπὸ τὴν ἄποψιν πληροφοριακῶν στοιχείων Μακάριος ὁ Μακρῆς δὲν προσφέρει τίποτε τὸ ἄγνωστον μέχρι τοῦδε, διότι ἐστηρίχθη ἀποκλειστικῶς ἐπὶ τῆς βιογραφίας τοῦ Ἁγίου Ἀνδρέου τῆς συνταχθείσης ὑπὸ τοῦ Νικήτα, πατρικίου καὶ κυαίστορος, ἀκμάσαντος πιθανῶς κατὰ τὸ δεύτερον ἥμισυ τοῦ δεκάτου αἰῶνος, καὶ ἐκδοθείσης διὰ πρώτην φορὰν τὸ 1898 ὑπὸ Παπαδοπούλου Κεραμέως[8]. Τὸ κείμενον ὅμως παρουσιάζει ἐνδιαφέρον ἀφ' ἑνὸς μὲν λόγῳ τῆς προσωπικότητος τοῦ διασκευαστοῦ, ἀφ' ἑτέρου δὲ ὡς ἔνδειξις τῆς ἐκτιμήσεως τὴν ὁποίαν εὗρεν ὁ βίος καὶ τὸ ἔργον τοῦ Ἀνδρέου Κρήτης ἀνὰ τοὺς αἰῶνας[9]. Ἤδη εἰς τὴν ὑπὸ τοῦ Νικήτα συνταχθεῖσαν βιογραφίαν ὁ ἅγιος Ἀνδρέας, κατὰ τὸ πρότυπον ὅλων τῶν βίων ἁγίων, παρουσιάζεται, εἰς ὅλας τὰς ἐκδηλώσεις τῆς ζωῆς του, ὡς ἰδεώδης μορφή. Τὸν τύπον αὐτὸν ἀκολουθεῖ καὶ Μακάριος ὁ Μακρῆς, ὑπερβάλλων ὅμως τώρα ὅσα εἶχεν εἴπει ὁ

---

[1]) Νικοδήμου Ἁγιορείτου, Νέον ἐκλόγιον, Κωνσταντινούπολις 1863, 151 - 155.

[2]) Δουκάκη Κ., Μέγας Συναξαριστής, Ἰούλιος, Ἀθῆναι 1893, 35 - 42.

[3]) Loparev Chr., Περί τινων βίων ἁγίων ἑλληνιστὶ γεγραμμένων, «Βυζαντινὰ Χρονικά» 4, 1897, 345 - 348 (εἰς ρωσσικήν).

[4]) Παπαδοπούλου Κεραμέως, Ἀνάλεκτα Ἱεροσολυμιτικῆς σταχυολογίας, 5, Πετρούπολις, 1898, 423.

[5]) Vaihlè S., Saint Andrè de Créte, «Échos d' Orient» 5, 1902, 379.

[6]) Ehrhard H., Veberlieferung . . . III, Leipzig 1936, 320 καὶ 337. Πρβλ. καὶ BHG, 114.

[7]) Loenertz R. J., Écrits de Macaire Macrès et de Manuel Paléologue dans les mss. Vat. gr. 1107 et Crypten. 161. OCP, 15, 1949, 187.

[8]) Ἔνθ. ἀν. 169 - 179.

[9]) Βιογραφία Μακαρίου τοῦ Μακρῆ: Petit L., DTC, 12², 1927, 1507-1508.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:36:08 EEST - 3.16.217.113

Νικήτας. Ἡ δ᾽ ὑπερβολὴ αὕτη συντελεῖ ἐνίοτε καὶ εἰς ἀλλοίωσιν τῶν ὑπὸ τοῦ Νικήτα διδομένων πληροφοριῶν. Οὕτω π.χ. ἐνῶ ὁ Νικήτας ἀναφέρει ἀορίστως ὅτι κατὰ τὴν μετάβασιν τοῦ Ἀνδρέου ἐκ Κρήτης εἰς Κωνσταντινούπολιν «*πολλοὶ πρὸς αὐτὸν ὠφελείας χάριν ἀόκνως παρεγίνοντο*» [10], ὁ Μακρῆς ἐπεκτείνων τὴν εἰς τὴν φράσιν αὐτὴν τοῦ Νικήτα δηλουμένην φιλικὴν πρὸς τὸν Ἀνδρέαν ἀτμόσφαιραν ἐν Κωνσταντινουπόλει, λέγει ὅτι καὶ ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες καὶ ἡ ἱερὰ σύνοδος τὸν ὑπεδέχθησαν ὡς νὰ ἤρχετο πρὸς αὐτοὺς ὄχι ἀπὸ τὴν Κρήτην «*ἀλλ᾽ οὐρανόθεν ἄγγελος καὶ ταμίας μεγάλων δωρεῶν*» [11]. Ἡ ἐπέκτασις αὕτη τῆς πληροφορίας τοῦ Νικήτα εἶναι βεβαίως ἀδικαιολόγητος, διότι ὁ Ἀνδρέας μετέβη εἰς Κωνσταντινούπολιν κατὰ πᾶσαν πιθανότητα ἐπὶ τῆς εἰκονομαχίας, λέγων δὲ ὁ Μακρῆς ὅτι ὁ Ἀνδρέας ἐγένετο ἐγκαρδιώτατα δεκτὸς ὑπὸ τοῦ αὐτοκράτορος Λέοντος Γ´ τοῦ Ἰσαύρου καὶ τῶν περὶ αὐτὸν αὐλικῶν καὶ ἐκκλησιαστικῶν ἀξιωματούχων, παρουσιάζει τὸν Ἀνδρέαν ὡς ὑπέρμαχον τῆς εἰκονομαχίας [12]. Παρομοία ὑπερβολὴ ὑπάρχει ἐπίσης καὶ εἰς τὴν περιγραφὴν τῆς μάχης εἰς τὸ «*ὀχύρωμα τοῦ Δριμέως*» εἰς Κρήτην· ὁ Νικήτας λέγει ἁπλῶς ὅτι ὁ Ἀνδρέας συνέβαλε διὰ τῶν εὐχῶν του εἰς τὴν νίκην καὶ ὅτι οἱ Ἄραβες «*τὸ ἄπρακτον ἑαυτοῖς περιεποιήσαντο, ζημίαν τὴν ἰδίαν κατάλυσιν ἀντὶ κέρδους τῆς αἰχμαλωσίας οἰκειωσάμενοι*» [13]. Ὑπερβάλλων ὁ Μακρῆς λέγει: (ὁ Ἀνδρέας) «*οὐ μόνον ἀνωτέραν ταῖς εὐχαῖς τοῦ κινδύνου τὴν πόλιν πεποίηκεν, ἀλλὰ καὶ τοῖς βαρβάροις δεινόν τε καὶ φοβερὸν ἐμβαλὼν δέος, οὕτω φεύγειν ἔπεισε, διώκοντος μηδενός, ὡς ἐκ τῆς ἀτάκτου φυγῆς τε καὶ συγκλονήσεως τοὺς πλείστους διαφθαρῆναι καὶ τῇ θαλάσσῃ καὶ ταῖς τῶν πολιορκουμένων χερσί*» [14]. Καὶ μία τρίτη ὑπερβολή: Ὁ Νικήτας ἀναφέρει ὅτι ὁ Ἀνδρέας ὡμίλησε εἰς τὸν ἐνθρονιστικόν του λόγον περὶ τῶν εὐθυνῶν τοῦ ἱερέως: «*Καὶ λόγον τῷ λαῷ προσεφώνησε, δι᾽ αὐτοῦ φανερῶς δεικνύων τό, ὡς εἴρηται, ἐπικείμενον τοῖς ἱερεῦσι φορτίον*» [15]. Ὁ Μακρῆς χαρακτηρίζει τὸν λόγον αὐτὸν ὡς «*ἄγαν πιθανὸν καὶ χαρίεντα*» [16] καὶ περιγράφει τὸ περιεχόμενόν του. Ἡ ὑπερβολή, εἰς τὴν περίπτωσιν αὐτήν, εὑρίσκεται εἰς τὸ ὅτι ὁ Μακρῆς χαρακτηρίζει καὶ συνοψίζει κείμενον οὐδέποτε ὑπάρξαν εἰς τὴν πραγματι-

---

10) Ἐνθ. ἀν. 178.

11) § 15 τῆς παρούσης ἐκδόσεως.

12) Τὰ σχετικὰ περὶ Ἀνδρέου καὶ εἰκονομαχίας ἴδε εἰς «Κρητικὰ Χρονικὰ» 5, 44 - 47.

13) Ἐνθ. ἀν. 177.

14) § 12 τῆς παρούσης ἐκδόσεως.

15) Ἐνθ. ἀν. 175.

16) § 8 τῆς παρούσης ἐκδόσεως.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:36:08 EEST - 3.16.217.113

κότητα· εἶναι, νομίζω, ἐντελῶς ἀπίθανον νὰ ὑποθέσωμεν ὅτι ἐσώζετο μέχρι τοῦ δεκάτου πέμπτου αἰῶνος ἐνθρονιστικὸς λόγος τοῦ Ἀνδρέου, προσιτὸς εἰς τὸν Μακρῆν καὶ κατόπιν ἀπολεσθείς. Τὸ πιθανώτερον εἶναι ὅτι ὁ Νικήτας, οὐδ' αὐτὸς ἔχων ὑπ' ὄψιν του ὡρισμένον κείμενον τοῦ Ἀνδρέου, ὁμιλῶν συμβατικῶς περὶ τοῦ ἐνθρονιστικοῦ λόγου τοῦ Ἀνδρέου παρέσυρε τὸν Μακρῆν εἰς τὸν χαρακτηρισμὸν ἔργου ἀνυπάρκτου· ἐνδεχομένως δ' ὁ Νικήτας ὁμιλεῖ περὶ τοῦ ἐνθρονιστικοῦ αὐτοῦ ἐπὶ τῇ βάσει τῆς ἀπολεσθείσης πλέον βιογραφίας τοῦ Ἀνδρέου, ἐξ ἧς ἤντλησεν καὶ τὰς ἄλλας πληροφορίας του.

Πρωτότυπος εἶναι ὁ Μακρῆς μόνον εἰς τὰς περὶ τῶν ἔργων τοῦ Ἀνδρέου εἰδήσεις του. Ὁ Νικήτας λέγει ἁπλῶς ὅτι ὁ Ἀνδρέας ἔγραψεν ἐγκώμια τῆς Θεοτόκου, Ἰωάννου τοῦ Προδρόμου καὶ «*ἑτέρων ἁγίων καὶ ὁσίων πατέρων*» [17]. Ὁ Μακρῆς ἀναφέρει τὰ ἐγκώμια πρὸς τὴν Θεοτόκον, τὸν Σταυρόν, καὶ κατόπιν μιᾶς γενικῆς ἐκφράσεως «*καὶ ἄλλας οὐκ ὀλίγας δεσποτικὰς ἑορτὰς καὶ τῶν ἁγίων οὐκ ὀλίγους προσφθέγγεται*» προσθέτει «*κανόνας συχνοὺς καὶ τροπάρια*» [18] καὶ τὸν Μέγαν Κανόνα. Ἀτυχῶς ὁ Νικήτας ἀοριστολογεῖ, ἄλλως αἱ περὶ τῶν ἔργων τοῦ Ἀνδρέου γνώσεις του θὰ ἀπετέλουν σημαντικώτατον βοήθημα διὰ τὴν διευκρίνισιν τῆς εἰς τοὺς κώδικας ἄκρως συγκεχυμένης παραδόσεως [19]. Ἡ μνεία τοῦ Μακρῆ διὰ τὸν «Μέγαν Κανόνα» ἀποδεικνύει ὅτι τὸ θαυμάσιον αὐτὸ ποιητικὸν ἔργον ἦτο ἤδη κατὰ τὸν δέκατον πέμπτον αἰῶνα δημοφιλές.

Τὸ κείμενον τοῦ βίου ἔχει διασωθῆ εἰς ἕνα μόνον κώδικα, τὸν ὑπ' ἀριθμὸν 635 τῆς μονῆς Βατοπεδίου τοῦ ἁγίου Ὄρους, γραφέντα τὸ 1422 καὶ περιέχοντα λόγους πανηγυρικούς [20]. Ἐκ τῆς χρονολογίας καὶ τοῦ τόπου ὅπου εὑρίσκεται ὁ κῶδιξ, προκύπτει ὅτι Μακάριος ὁ Μακρῆς ἔγραψε τὸν βίον εἰς ἡλικίαν τριάκοντα περίπου ἐτῶν καὶ ὅτε ἀκόμη εὑρίσκετο εἰς τὸ Βατοπέδι ὡς μοναχός. Ὁ συγγραφεύς, γεννηθεὶς τὸ 1391, ἀπέθανεν τὸ 1425, εἰς ἡλικίαν τριάκοντα τεσσάρων ἐτῶν.

Ἡ ἐνταῦθα ἔκδοσις γίνεται ἐπὶ τῇ βάσει ἀντιγράφου παραχωρηθέντος εὐγενῶς ὑπὸ τῆς μονῆς Βατοπεδίου διὰ τὰ «Κρητικὰ Χρονικά». Αἱ παραπομπαὶ εἰς τὰ εὐαγγελικὰ χωρία τῆς παρούσης ἐκδόσεως ὀφείλονται εἰς τὸν θεολόγον κ. Π. Χρήστου, πρὸς τὸν ὁποῖον ἐκφράζω καὶ ἀπὸ ἐδῶ τὰς εὐχαριστίας μου.

ΒΑΣ. ΛΑΟΥΡΔΑΣ

17) Ἐνθ. ἀν. 175.

18) § 10 τῆς παρούσης ἐκδόσεως.

19) Ἐπὶ τοῦ θέματος αὐτοῦ ἐλπίζω νὰ ἐπανέλθω.

20) Εὐστρατιάδου Σωφ., Ἀρκαδίου, Κατάλογος τῶν ἐν τῇ ἱερᾷ μονῇ Βατοπεδίου ἀποκειμένων κωδίκων. Cambridge 1924, 126.



Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:36:08 EEST - 3.16.217.113

*ΜΑΚΑΡΙΟΥ ΤΟΥ ΜΑΚΡΗ, ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΝΔΡΕΟΥ, ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΡΗΤΗΣ ΤΟΥ ΙΕΡΟΣΟΛΥΜΙΤΟΥ*

*1. Οὐδὲν ἂν οἶμαι γένοιτο δῶρον φίλτερόν τε καὶ οἰκειότερον τοῖς ἐλλογίμοις τῶν θείων ἀνδρῶν ἢ λόγος τὰ τούτοις πεπολιτευμένα διεξιών, καὶ τοῦτο μὲν πρὸς εὐφροσύνην καὶ δόξαν Θεοῦ κινῶν τοὺς ἀκούοντας, τοῦτο δὲ μύωπι ζήλου τὰς φιλοθέους νύττων ψυχὰς καὶ πρὸς ἀρετῆς διεγείρων ἄσκησιν. Εἰ γὰρ καὶ τὰ μάλιστα τῆς παρ' ἡμῶν δόξης οὐδὲ δεῖ τοῖς μακαρίοις ἐκείνοις, τῆς θείας καὶ ἀκηράτου δόξης ἤδη βεβαίως ἐπειλημμένοις, ἀλλὰ τῆς Θεοῦ δόξης καὶ τῆς ἡμῶν ὠφελείας καὶ σφόδρα γε μέλλει· καὶ ὑπὲρ ὧν ἐν γῇ ζῶντες ἅπαντα πόνον ἡδέως εἵλοντο, τούτων καὶ μεταστάντες εἰς οὐρανόν, πολύν τινα λόγον ἔχουσι, καὶ μάλιστα πάντων ἐξέχονται, καὶ χάριν ἂν εἰδεῖεν, τοῖς τούτων κατὰ δύναμιν προνοοῦσιν. Οὐ μὴν ἀλλ' εἴτις αὐτοῖς καὶ ἀμοιβὴν εἰσφέρειν ἐθέλοι, τῶν πρὸς ἡμᾶς ὑπηργμένων σφίσι λογικῶν χαρίτων κατάλληλον, οὐχ ὁρῶ τίνα μᾶλλον ἢ ταύτην ἕξει γνησίαν τε καὶ ἁρμόδιον. Ἐπειδὴ τοίνυν καὶ χάριεν ἂν εἴη δῶρον ὁ λόγος καὶ ἀμοιβὴ πρέπουσα, ὡς κορυφαίῳ τοῦ ἱεροῦ τῶν σοφῶν τε καὶ ἁγίων χοροῦ τῷ Θειοτάτῳ Ἀνδρέᾳ, προσοιστέον τὸν λογικὸν στέφανον καὶ τὰ κατ' αὐτὸν διηγητέον καὶ ὑμνητέον εἰς δύναμιν. Ὁ γὰρ θεῖος ἐκεῖνος ἀνὴρ οὐ μόνον εἶχε γλῶτταν ἡδύ τε καὶ μελιχρὸν ῥέουσαν καὶ πρὸς ἡδονὴν καὶ ὠφέλειαν τὰς συνουσίας διατιθεῖσαν ἑκάστοτε, ἀλλὰ καὶ βίον λαμπρὸν καὶ τῇ γλώττῃ καθ' ἅπαξ συνηχοῦντα καὶ συμφθεγγόμενον καὶ οἷον ἐκ μόνης τῆς διηγήσεως μεγίστην ἡδονὴν καὶ ὠφέλειαν ἐμποιεῖν δυνάμενον τοῖς ἀκούουσι. Λεγέσθω τοιγαροῦν τὰ ἐκείνου καὶ προτιθέσθω τοῖς φιλοκάλοις εἰς ἀκοῆς ἐντρύφημα καὶ ψυχῆς μεγίστην ὠφέλειαν.*

*2. Πατρὶς μὲν οὖν τῷ θαυμασίῳ Δαμασκὸς ἡ περίδοξος, ἡ πολλοῖς καὶ μεγάλοις ἐγκαλλωπίζεσθαι καὶ μεγαλαυχεῖν ἀγαθοῖς ἔχουσα, οὐχ οὕτω τοῖς ἄλλοις ἐθέλει σεμνύνεσθαι ὡς τῷ γε Παύλῳ τὸν σκότον λῦσαι ψυχῆς τε καὶ σώματος, καὶ τῷ μὲν οὐρανίῳ πατρὶ τοῦτον εἰσποιῆσαι διὰ τοῦ θείου βαπτίσματος καὶ καταρτίσαι πρὸς τὸ βαστάσαι τοῦτον τὸ θαυμαστὸν ὄνομα, τῇ οἰκουμένῃ δὲ πάσῃ πατέρα καὶ διδάσκαλον εὐσεβείας ἀποτεκεῖν· καὶ ἐξ ἐκείνου, καθάπερ τι γέρας ἐξαίρετον θεόθεν κληρώσασθαι, ἄνδρας ἀγαθοὺς φύειν καὶ διδασκάλους τῷ τῆς Χριστοῦ Ἐκκλησίας πληρώματι, ὧν κορωνὶς καὶ κεφάλαιον ὁ νῦν ἡμῖν εἰς εὐφημίαν προκείμενος. Πατέρες δὲ θεοφιλεῖς τε καὶ κόσμιοι καὶ ἀρετῆς μᾶλλον ἢ τῆς κάτω κτήσεως πλούτου κομῶντες καὶ σεμνυνόμενοι· Γεώργιος καὶ Γρηγορία τούτοις ὀνόματα. Τούτων ὁ ἱερὸς Ἀνδρέας οὐ μᾶλλον κατὰ θεσμὸν φύσεως ἢ κατὰ θείαν χάριν ἐκφύς, εἰς ἐνιαυτὸν ἕβδομον τὴν γλῶτταν εἶχε σιγῶσαν καὶ μηδὲν ὅλως φθέγγεσθαι δυναμένην, ὡς καὶ πικρὰς τοῖς γονεῦσιν ὑποτείνειν ἐλπίδας, οἰομένοις αὐ-*

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:36:08 EEST - 3.16.217.113

*τὸν εἰσάπαν κωφεύσειν καὶ μηδέποτε φθέγξεσθαι. Τὸ δὲ ἦν ἄρα παιδαγωγία τις καὶ προτέλεια φύσεως, ἐπὶ τὴν ὑψηλοτάτην αὐτὸν γυμναζούσης φιλοσοφίαν, Πυθαγόρου παντὸς ἄμεινον· ἴσως δὲ καὶ ἵνα, τὴν χάριν τοῦ λόγου οὐκ ἀπὸ φύσεως ἀλλὰ θεόθεν δεξάμενος, ἔκδηλος εἴη μόνα τὰ ὑψηλά τε καὶ θεῖα φρονήσων τε καὶ φθεγξόμενος. Δῆλον δέ· καὶ γὰρ ἑβδόμου παρῳχηκότος αὐτῷ ἐνιαυτοῦ ἐκ γεννήσεως, προσήει συνήθως σὺν τοῖς πατράσι τῇ θείᾳ καὶ ζωοποιῷ μεταλήψει τοῦ παναχράντου καὶ σωτηρίου Χριστοῦ σώματός τε καὶ αἵματος· καὶ μετασχών, εἶχε μὲν τὴν ψυχὴν κοινωνὸν τῆς ἀπορρήτου καὶ θείας ἀστραπῆς, τῆς τοῦ λόγου θεότητος, εἶχε δὲ καὶ τὸ σῶμα συμμεριζόμενον τἀγαθὰ καὶ τὴν γλῶτταν τῆς φυσικῆς λελυμένην πέδης καὶ ἀπαρεμποδίστως ὑπηρετεῖσθαι δυναμένην τῷ λόγῳ καὶ τἀφανῆ τῆς ψυχῆς μηνύειν κινήματα καὶ βουλήματα.*

*3. Ἐντεῦθεν γραμματιστῇ παραδίδοται, πᾶσαν τὴν ἐν λόγοις παιδείαν φιλοπόνως παιδεύεσθαι. Καὶ δή, γενναιότητι καὶ ὀξύτητι φύσεως σπουδὴν συνάψας ἀντίρροπον, ἵππος ἦν εἰς πεδίον τάχιστα διαθέων καὶ ἀκριβούμενος τῶν μαθημάτων τὰ κράτιστα καὶ ἀεί τι καινότερον ἐπιζητῶν ἐκδιδάσκεσθαι· γραμματικήν τε γὰρ ἐκμανθάνει καὶ προσλαμβάνει ῥητορικὴν καὶ τῶν φιλοσοφίας δογμάτων ἐπιβατεύει μετὰ συνέσεως, καὶ ἁπλῶς εἰπεῖν τοῖς ἀρίστοις τῶν Ἑλλήνων συγγεγονὼς καὶ τῶν μαθημάτων μνησθεὶς ὅσον κάλλιστον, τήν τε γλῶτταν καθαίρεται καὶ τὴν ψυχὴν πρὸς ἀνάληψιν ἀληθείας καὶ ἀρετῆς ἐπιτηδειοτάτην καθίστησι καὶ τὸν νοῦν πρὸς ὑψηλοτέρας θεωρίας ποιεῖται ἐπήβολον. Ἐντεῦθεν ταῖς ἱεραῖς βίβλοις καὶ θεοπνεύστοις μετ᾽ ἐπιστήμης ἐγκύψας καὶ φωτισθεὶς ἐξ αὐτῶν τὴν διάνοιαν, ἐραστὴς τῆς ὄντως σοφίας μάλα θερμὸς γίνεται, καὶ ζητεῖ τὴν ἐκείνης συνάφειαν, καὶ ὅλῳ τῷ νῷ πρὸς αὐτὴν βλέπει καὶ τῶν ἐκείνης ἐρώτων μανικῶς ἄγαν ἐξήρτηται. Ἔγνω τοίνυν μὴ ἂν ἄλλως ἐκείνῃ συμμίξαι τῇ ἀΰλῳ καὶ καθαρᾷ αἰθεροβάμονι ἢ τῶν γεηρῶν καὶ ἐνύλων λυθέντα καὶ ἀπαθείας ἑαυτῷ περιθέμενον πτέρυγας, ἃς καὶ Δαυὶδ ὁ θεῖος ζητεῖ, ὄνομα περιστερᾶς*[21] *ἐπιφημίσας τῇ ἀπαθείᾳ καὶ καθαρότητι.*

*4. Πείθει τοιγαροῦν τοὺς γονέας, ἀντιδοῦναι τοῦτον καὶ ἀφιερῶσαι τῷ δόντι Θεῷ, ὡς μηδὲν κοινὸν πρὸς τὴν κατὰ κόσμον ζωὴν ἐν ψυχῇ φέροντα. Οἳ καί, κατὰ θειοτέραν πάντως κίνησιν, λαβόντες αὐτὸν ἄγουσιν εἰς Ἱεροσόλυμα, καὶ τῇ πηγῇ τῆς ἡμῶν ἀναστάσεως, τῷ ζωοδόχῳ τοῦ Σωτῆρος ἡμῶν μνήματι, ἑκούσιον θῦμα προσάγουσιν, ἱερεῖον ἄμωμον, εὐπρόσδεκτον προσφοράν, θυσίαν ζῶσαν, ἁγίαν,*

[21]) Ψαλμ. νδ´ 6.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:36:08 EEST - 3.16.217.113

*εὐάρεστον, λογικήν*[22], Παῦλος ἂν ὁ μακάριος εἶπεν. Ἦν δ' ἄρα κατ' ἐκεῖνο τοῦ καιροῦ τῆς Ἐκκλησίας προεστηκὼς ἀνὴρ ἄριστος καὶ τὴν ἀρετὴν ἀπαράμιλλος· Θεόδωρος τῷ Πατριάρχῃ τὸ ὄνομα. Ὅς τὸν ἱερὸν νεανίαν ὑπτίαις χερσὶν εἰσδεξάμενος καὶ υἱοθετήσας διὰ τοῦ θείου πνεύματος, τῷ γὰρ ὁμοίῳ, φασίν, χαίρει τὸ ὅμοιον, ἀποκείρει τε κατὰ μοναχοὺς καὶ τῷ πρώτῳ τῆς ἱερωσύνης ἐγκαταλέγει βαθμῷ καὶ ὅλοι τῆς ἐπιμελείας καὶ κατὰ Θεὸν προκοπῆς αὐτοῦ γίνεται, πᾶσαν σπουδὴν ποιούμενος κατ' ἀρετὴν αὐτὸν ἐκθρέψαι καὶ εἰς μέτρον ἡλικίας προαγαγεῖν τοῦ πληρώματος τοῦ Χριστοῦ. Καὶ δὴ πρὸς τὴν ἀρίστην ἐμπειρίαν τῆς αὐτοῦ γεωργίας ἐπιτυχὴς γεγονὼς καὶ γῆς εὐγέου καὶ λιπαρᾶς καὶ τῷ ἀρότρῳ πάντα εἰκούσης, μάλα βαθεῖαν ἀνατέμνει τὴν αὔλακα καὶ τὸν θεῖον σπόρον χύδην ἐγκατατίθεται. Καὶ μέντοι καὶ τῶν χρηστῶν ἐλπίδων οὐμενουν τὸ παράπαν ἐψεύσατο, ἀλλ' αὐτός τε σὺν ἀγαλλιάσει τοῦ θερισμοῦ γίνεται καὶ τῷ κοινῷ τῆς Ἐκκλησίας εἰς πανδαισίαν προτίθησι. Κἀκ τῶν δρωμένων καὶ περὶ τῶν ἑξῆς βεβαίως εἶχε μαντεύεσθαι, ὡς εἰς ἑκατὸν οἴσει τὸν καρπὸν τὸ δασύτατον λήϊον. Ἀλλ' ὁ μέν, μὴ τοῦ καλοῦ, τοῦ δὲ πλούτου συγχωρηθεὶς εἰσάπαν ἀπόνασθαι, τοῦ σωματικοῦ δεσμοῦ λύεται, καί, τῆς τοῦ παιδὸς καὶ κληρονόμου τῆς ἀρετῆς χερσὶν ἡδέως ἐναποψύξας, πρὸς τὸν ἄνω Πατέρα καὶ δεσπότην μεταχωρεῖ, τῆς ἀρίστης οἰκονομίας λαμπρὰ τὰ γέρα ληψόμενος.

5. Καταλείπει δὲ τὸν ὅσιον, σύν γε τῷ οἰκονόμῳ τῆς ἐκκλησίας, τῶν ἐκκλησιαστικῶν πραγμάτων διοικητὴν καὶ ἐπίτροπον. Τοῦ γὰρ θρόνου διάδοχον οὐκ εἶα τὸ κομιδῇ νέον τῆς ἡλικίας καταλιπεῖν, ἀλλὰ μέχρι μὲν τοῦ σχήματος τὸ νέον ἦν ἐμποδών, ἀρετῆς δὲ ἄλλως καὶ προνοίας κοινῆς ἕνεκα καὶ προστασίας καὶ ὠφελείας ὅλης τῆς Ἐκκλησίας, οὐδενὸς τῶν πώποτε προστάντων αὐτῆς Ἀνδρέας ὁ ἱερὸς ἀπελείπετο, ἀλλ' ἦν αὐτῇ πάντα: καὶ πατὴρ καὶ διδάσκαλος καὶ ὑπηρέτης καὶ οἰκονόμος καὶ πάσης ἰδέας καλῶν παράδειγμα ἐναργές.

6. Τῆς δὲ ἁγίας καὶ Οἰκουμενικῆς Ἕκτης Συνόδου τηνικαῦτα συγκροτηθείσης ἐν Κωνσταντινουπόλει, Κωνσταντίνου τοῦ εὐσεβοῦς βασιλέως κινοῦντος, τοῦ υἱειδοῦ Ἡρακλείου, καὶ τοὺς κακῶς συναλείφοντας καὶ συγχέοντας τὰς ἀσυγχύτους ἐπὶ Χριστῷ δύο φύσεις, διὰ τῆς συναιρέσεως μᾶλλον δὲ ἀναιρέσεως τῶν δύο θελημάτων τε καὶ ἐνεργειῶν, λαμπρῶς καθελούσης καὶ στήλην εὐσεβείας ἀνεγειράσης τὸν τόμον τὸν ἱερόν, γράμματα καὶ θεσπίσματα κατὰ πᾶσαν ἐφοίτα τὴν Ἐκκλησίαν Χριστοῦ τῆς εὐσεβείας τὸν ὅρον ἐπικυροῦντα καὶ πᾶσι παρεγγυῶντα

---

[22]) Ρωμ. ιβ' 1. Βλ. καὶ Φιλιππ. δ' 18.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:36:08 EEST - 3.16.217.113

*τοῖς εὐσεβεῖν ἐθέλουσι κατ' ἴχνος ἕπεσθαι τούτῳ. Ἃ καὶ πρὸς τὴν ἐν Ἱεροσολύμοις φθάνουσιν ἐκκλησίαν καὶ πολλῆς αὐτὴν θυμηδίας πληροῦσι καὶ πνευματικῆς ἡδονῆς, τὴν πρόσθεν πολεμουμένην εὐσέβειαν αὖθις ὁρῶσαν κρατυνομένην περιφανῶς. Συνελθόντων δὲ πάντων καὶ κοινῇ συνδιασκεψαμένων, ἐφ' ᾧ πρὸς τὸν βασιλέα διαπρεσβεύσασθαι καὶ σύμφρονας σφᾶς αὐτοὺς δεῖξαι τοῖς δεδογμένοις τῇ Θείᾳ Συνόδῳ, κοινὴ ψῆφος ἐξηνέχθη παρὰ πάσης τῆς Ἐκκλησίας τὸν πάντ' ἄριστον Ἀνδρέαν, δύο συμπαραλαβόντα τῶν τοῦ κλήρου λογάδων, διακονήσασθαι τῇ πρεσβείᾳ, ὡς ἂν σύννουν ὄντα καὶ ὁμόφρονα τῇ ἁγίᾳ Συνόδῳ κἂν τοῖς τοιούτοις μᾶλλον ἐνδιαπρέποντα δυνάμει λόγου καὶ πνεύματος. Καὶ τοίνυν συμπαραλαβὼν οὓς αὐτὸς εἵλετο, εὐθὺ Βυζαντίου ἐχώρει καὶ τὴν πόλιν καταλαβὼν τὸν μὲν Κωνσταντῖνον οὐχ εὗρεν, ἤδη τὸν βίον ἀλλάξαντα, Ἰουστινιανῷ δὲ ἐντυγχάνει τῷ ἐκείνου υἱεῖ καὶ κληρονόμῳ τῆς βασιλείας, καὶ τήν τε ὁμολογίαν ἐγχειρίζει τῆς Ἐκκλησίας καὶ αὐτὸς τῇ καλῇ γλώττῃ τὸ ἐνδέον ἀναπληροῖ. Θαυμασθεὶς δὲ ὑπὸ πάντων καὶ βασιλέως αὐτοῦ, καὶ τὴν πρεσβείαν κατ' οἰκείαν βούλησιν διαθέμενος, τοὺς μὲν συνανελθόντας οἴκαδε ἀποπέμπει, τῆς πρεσβείας τὸ πέρας τοῖς πέμψασι μηνύσοντας.*

7. *Αὐτὸς δὲ βουλόμενος ἑαυτὸν ἐκκλησιαστικῶν λῦσαι θορύβων, αὐτοῦ μένει, βίον ἑλόμενος μοναδικὸν καὶ ἡσύχιον. Καὶ τοίνυν πάντοθεν συνεσταλκὼς ἑαυτὸν καὶ πάσης εἰσάπαν ἀποσχὼν εὐλόγου τε καὶ ἀλόγου μερίμνης, μόνῃ δὲ τῇ θείᾳ σχολῇ τε καὶ θεωρίᾳ συντεταχὼς τὸν νοῦν καὶ ν η σ τ ε ί α ι ς καὶ ἀ γ ρ υ π ν ί α ι ς*[23] *καὶ δάκρυσιν ὅλον ἑαυτὸν δεδωκώς, ἁγνίζεται μὲν τὸ σῶμα, καθαίρεται δὲ τὴν ψυχήν, τὸν δέ γε νοῦν ὅλον φωτίζεται, καὶ οὕτω πανταχόθεν προσήκων Θεῷ, ἑνοῦται μυστικῶς αὐτῷ καὶ θεοῦται, καὶ τῆς μελλούσης κληρονομίας δι' ἀρραβῶνος γεύεται συγγενοῦς. Συχνὸν τοίνυν χρόνον ἐν ἡσυχίᾳ διαβιούς, ἑαυτὸν μὲν τῶν τελεωτάτων μέτρων τῆς ἀρετῆς ἀξιοῖ, τοῖς προσφοιτῶσι δὲ ἑκάστοτε πολλῆς ὠφελείας αἴτιος γίνεται. Ἀλλὰ γὰρ οὐκ ἦν, οὕτω τοῖς ἀγαθοῖς ἔργοις καὶ λόγοις λάμποντα, διαλαθεῖν καὶ τῷ τῆς ἡσυχίας εἰς τέλος μ ο δ ί ῳ*[24] *συγκαλυφθῆναι. Οὐκοῦν οὐδὲ διέλαθεν, ἀλλὰ τῷ βασιλεῖ καὶ τῇ Ἐκκλησίᾳ δῆλος γενόμενος, βίᾳ τοῦ καθ' ἡσυχίαν ἐκσπασθεὶς βίου χειροτονεῖται τῆς Μεγάλης Ἐκκλησίας διάκονος. Εἶτα καὶ τὴν τοῦ ὀρφανοτροφείου οἰκονομίαν καὶ λειτουργίαν πιστεύεται, ἐν ᾗ καὶ διαλάμψας, καὶ ὄντως πατὴρ καὶ τροφεὺς ὀρφανῶν καὶ πτωχῶν ἀναφανεὶς ὁ θαυμάσιος, καὶ ἀμφοτέρων τῶν Ὀρφανοτροφείων ἐπιμεληθεὶς μεγαλοπρεπῶς, ὅ τι μάλιστα καὶ τάς τε προσόδους ἐπαυξήσας*

---

[23]) Β' Κορ. ια', 27.

[24]) Ματθ. ε', 15.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:36:08 EEST - 3.16.217.113

*καὶ τῶν εὐαγῶν οἴκων τὴν στενοχωρίαν εἰς εὐρυχωρίαν μεγάλαις οἰκοδομαῖς διαμείψας, ἐπεὶ μείζονος οἰκονομίας ἦν ἄξιος, μείζονος καὶ τυγχάνει, καὶ εἰς τὸν ὑψηλὸν τῆς ἱεραρχίας θρόνον ἀνάγεται καὶ τῆς περιφανοῦς τῶν Κρητῶν Μητροπόλεως τοὺς οἴακας ἐγχειρίζεται, μᾶλλον δέ, διὰ μιᾶς πόλεως, πάσης τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἀποκαθίσταται διδάσκαλος καὶ ποιμήν.*

*8. Καὶ δὴ λοιπὸν τῆς αὐτοῦ ποίμνης λαμπρῶς ἐπιβὰς καὶ προσδεχθεὶς ὑφ' ἁπάντων, οὐχ ἱ μ α τ ί ω ν ὑ π ο σ τ ρ ώ σ ε σ ι ν οὐδὲ κ λ ά δ ο ι ς ἐ λ α ι ῶ ν*[25] *οὐδὲ μόναις ε ὐ φ η μ ί α ι ς ν η π ί ω ν*[26]*, ὥσπερ ὁ Δεσπότης ἡμῶν καὶ Σωτήρ, ἀλλ' ὑπτίαις ψυχαῖς καὶ μύρων ἐκχύσεσι καὶ μεγίστῃ παρὰ πάντων δοξολογίᾳ Θεοῦ, ἀνθ' ὧν τοιούτου ποιμένος ἠξίωνται παρ' αὐτοῦ, εἶτα ἔργου λοιπὸν εἴχετο καὶ τῆς ἀρίστης οἰκονομίας γενναίως ἀντείχετο καὶ ὅλος τῆς τῶν ἐμπεπιστευμένων ἐπιδόσεως καὶ σωτηρίας ἐγίνετο. Καί γε οὐκ εἰς μακρὰν ἔδειξε τό τε μεγαλοφυὲς αὐτοῦ τῆς ψυχῆς καὶ τὸ τῆς ἀρετῆς ἀπαράμιλλον καὶ τὴν τελεωτάτην ἕξιν τῆς ποιμαντικῆς ἐπιστήμης. Καὶ πρῶτα μὲν ἀφ' ἑστίας ἀρξάμενος, ὅ δὴ λέγεται, τάττει λίαν σεμνῶς καὶ πανσόφως τὴν ἱερὰν τάξιν τοῦ βήματος, λόγον ἐκφωνήσας περὶ λειτουργικῆς τάξεως, ἄγαν πιθανὸν καὶ χαρίεντα, ἐν ᾧ δείκνυσιν ὁποῖον δή τινα χρὴ τελεῖν τὸν ἐγγίζειν ἠξιωμένον τῷ ἀπροσίτῳ καὶ πρώτῳ φωτί, καὶ τοὺς ἄλλους φωτίζειν ἐπαγγελλόμενον, καὶ διαλλάττειν πρὸς τὸν Θεόν, ὡς διαφανῆ τε καὶ καθαρὸν καὶ λεῖον τὴν ψυχήν, καὶ οἷον δέχεσθαι καὶ χωρεῖν τὰς ἐκεῖθεν ἀκτῖνας καὶ τοῖς ἄλλοις διαπορθμεύειν ἔχειν τὸ φῶς.*

*9. Ἔπειτα τοὺς παρθενῶνας καὶ τὰ σεμνεῖα ρυθμίζει καὶ περὶ βίου νομοθετεῖ μοναχῶν, τῶν ἐν γάμῳ ἐπιμελεῖται, πείθων τῷ Θεῷ μᾶλλον ἢ τῇ σαρκὶ προστίθεσθαι, καὶ τῶν μὲν ἐν βίῳ καταφρονεῖν ἡδονῶν, τῶν θείων δὲ ἐντολῶν λόγον πλείω ποιεῖσθαι, καὶ τῆς σφετέρας αὐτῶν ἐξέχεσθαι σωτηρίας. Παιδαγωγεῖ τὴν νεότητα, συνετίζει τὴν πολιάν, τοὺς ἁμαρτάνοντας ἐπιστρέφει, τοῖς μετανοοῦσιν ἐγγυᾶται τὸν θεῖον ἔλεον, τοὺς ἀγωνιζομένους ἀλείφει, τοῖς καλῶς τρέχουσιν εὐτονίαν προστίθησιν, ἀμύνει πολεμουμένοις, περιτρεπομένους ὑπανέχει, πίπτοντας ἀνορθοῖ, ὑποστηρίζει τοὺς ὀκλάζοντας, νικῶντας στεφάνοις λαμπροῖς ἀναδεῖ· γίνεται τοῖς μὲν ἑστῶσιν ἀσφάλεια, τοῖς δὲ κ ε ι μ έ ν ο ι ς ἀ ν ά σ τ α σ ι ς*[27]*, ἀσθενοῦσι ῥῶσις, ἀθυμοῦσι παραμυθία, ὀλιγωροῦσιν ἀναψυχή, πατὴρ ὀρφανῶν, προστάτης χηρῶν, πενήτων ἄσυλος θησαυρός, πεινώντων τροφή, ριγώντων ἐσθής. Τί δεῖ πάντα λέγοντας δια-*

---

[25]) Ματθ. κα', 8 ἑξ. καὶ παράλληλα.

[26]) Ματθ. κα', 16, ψαλμ. η', 2.

[27]) Ἀπήχησις τοῦ Λουκ. β', 34.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:36:08 EEST - 3.16.217.113

*τρίβειν; Πᾶσι γίνεται πάντα, ἵνα σώσῃ πάντας*[28], *καὶ τοὺς πιστεύσαντες Θεῷ προσαγάγῃ, καὶ καθάπερ ἐλπὶς τοῖς ἁγίοις ἐπὶ τοῦ μέλλοντος ὑπάρξειν τὸν Κύριον, τροφήν τε καὶ ἔνδυμα, καὶ φῶς καὶ ζωήν, καὶ δόξαν καὶ ἡδονήν, καὶ πᾶν ὃ πρὸς τὴν ὄντως τείνει μακαριότητα, οὕτως καὶ τοῖς μαθηταῖς κατὰ τὸ δυνατὸν ἀντὶ πάντων ἦν ὁ μακάριος, οὐ μόνον ὅσα τὴν ἐλπιζομένην εὐδαιμονίαν μνηστεύεται, ἀλλὰ καὶ δι' ὧν ἄν τις ἀλύπως τόνδε τὸν βίον διάξειεν.*

*10. Ἀνοίξας δὲ καὶ τὸν ἀγαθὸν θησαυρὸν τῆς καρδίας*[29], *λόγους ἀγαθοὺς ἐξηρεύξατο, καὶ πλατύνας τὸ στόμα*[30], *ἐπλήρωσε πνεύματος. Καὶ τοίνυν μετὰ σοφίας τε καὶ συνέσεως καὶ θειοτέρας ἐμπνεύσεως λογογραφεῖ, καὶ βιβλία συντίθησιν, ἄντικρυ Μουσῶν καὶ Χαρίτων ἀγάλματα, δι' ὧν ἀμφότερα καὶ ῥήτωρ ἀγαθὸς καὶ ἱεροφάντης θεόληπτος ἀναδείκνυται. Καὶ ὑμνεῖ μὲν τὴν τοῦ Θεοῦ λόγου πάναγνον μητέρα λαμπρῶς, ἐν διαφόροις αὐτῆς πανηγύρεσιν, ὑμνεῖ δὲ καὶ τὸν προσκυνητὸν καὶ ζωοποιὸν τοῦ Σωτῆρος Σταυρόν, ἐν ᾧ τὸ μακάριον πάθος καὶ τὸν ἑκούσιον ὁ ἀπαθὴς ἐνεγκὼν ὑπὲρ ἡμῶν θάνατον, κοινωνοὺς ἡμᾶς προῖκα τῆς αὐτοῦ ἀναστάσεως καὶ τῆς θείας δόξης καὶ βασιλείας εἰργάσατο. Φαιδρύνει τε καὶ γεραίρει καὶ ἄλλας οὐκ ὀλίγας Δεσποτικὰς ἑορτάς, καὶ τῶν ἁγίων οὐκ ὀλίγους προσφθέγγεται, καὶ τοὺς αὐτῶν ἄθλους οἰκειοῦται τοῖς κρότοις, καὶ τῶν ἄλλων μάλιστα τὸν ἐν γεννητοῖς γυναικῶν ὑπερέχοντα*[31], *συντίθησι δὲ πρὸς τὴν μουσικὴν ἄγαν ἐναρμονίως κανόνας συχνοὺς καὶ τροπάρια, ἅμα μὲν φαιδρύνων τὰς ἑορτὰς καὶ πρὸς πνευματικὴν εὐφροσύνην καὶ θυμηδίαν τὸν λαὸν προκαλούμενος, ἅμα δὲ καὶ κατανύξεως ἐντιθεὶς μύωπα ταῖς ψυχαῖς καὶ πρὸς δακρύων ἕλκων πηγάς, πρὸς ὃ καὶ τὸν μέγαν καὶ πολυύμνητον κανόνα συνέταξεν, οὐ μόνον κατανύξεως καὶ μεμεριμνημένης μετανοίας ὄντα παράκλησιν, ἀλλὰ καὶ προτροπὴν πολυμαθίας καὶ διδασκαλίαν τινὰ ἐμμελῆ, μεθ' οἵας ἄρα προσήκει τῆς διαθέσεως ἐπιέναι πάντας τὰς ἱερὰς ἱστορίας καὶ θεωριῶν ὑψηλοτέρων λήμματα ποιεῖσθαι καὶ ἀφορμάς.*

*11. Καὶ οὐ μόνον λόγοις τὴν αὐτοῦ ποίμνην κοσμεῖ, καὶ ἁπλῶς πᾶσαν Ἐκκλησίαν ἀγάλλει, ἀλλὰ καὶ ἔργοις οὐδὲν ἐλλειπομένοις τῆς τῶν λόγων μεγαλοπρεπείας καὶ ἀρετῆς. Τούς τε γὰρ καμῶντας τῶν θείων ναῶν ἀνορθοῖ καὶ ἐγκαινίζει, πλουσίᾳ καὶ φιλοτίμῳ χειρί, καὶ αὐτὸς ἐκ βάθρων ἀνεγείρει πάντων κάλλιστόν τε καὶ μέγιστον, καὶ τῷ*

---

[28]) Α' Κορ. θ', 22.
[29]) Ματθ. ιβ', 35.
[30]) Ἀπήχησις τοῦ Β' Κορ. στ', 11.
[31]) Ματθ. ια', 11, Λουκ. ζ' 28.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:36:08 EEST - 3.16.217.113

*περικαλλεῖ τε καὶ ὑπερουρανίῳ τοῦ Θεοῦ λόγῳ ἐμψύχῳ ναῷ, τῇ Θεομήτορι καὶ Παρθένῳ, τοῦτον ἀνατίθησι, Βλαχέρνας θέμενος ὄνομα. Ἔτι τε καὶ ξενῶνα ἐξ αὐτῶν κρηπίδων ἱδρύεται, εἰς θεραπείαν γεγηρακότων, εἰς ἰατρείαν καὶ ἄκος νοσούντων, εἰς ξένων καὶ πενήτων σκέπην τε καὶ κατανομήν. Οἷς οὐ μόνον δαψιλῶς ἐχορήγει τὰ πρὸς χρειὰν ἅπασαν καὶ διατροφήν, τὰ τοῦ Θεοῦ θείως καὶ πανσόφως ὁ πάνσοφος ἀνακαλῶν, ἀλλὰ καὶ τὸν αὐτοῦ Δεσπότην μιμούμενος καὶ διδάσκαλον, ὡς κἂν τοῖς ἄλλοις ἅπασιν, οἰκείαις τοῖς νοσοῦσι διηκονεῖτο χερσί, λεντίῳ ζωννύμενος καὶ πρὸς τοῖς ποσὶ χεῖρας νίπτων καὶ κεφαλάς*[32]*, καὶ ἕλκη καθαίρων, καὶ τοὺς μυδῶντας ἰχῶρας μονονοὺ τῇ γλώττῃ ἀπομάττων καὶ ἐκμυζῶν. Οὕτως αὐτὸν εἷλεν ἡ τοῦ Θεοῦ καὶ τοῦ πλησίον ἀγάπη.*

*12. Οὐδὲν δὲ οἷον καὶ θαύματος ἑνὸς ἢ δυοῖν ἐπιμνησθέντας ἐκ τοῦ κρασπέδου, φασίν, ὅλον δεῖξαι τὸ ὕφασμα. Βαρβαρικοῦ στόλου τῇ νήσῳ ἐπιθεμένου καὶ αὐτῇ δὴ τῇ τοῦ μεγάλου ποίμνῃ ἐπιχειρήσαντος, καὶ κύκλῳ ταύτην τῶν πολεμίων διαλαβόντων, καὶ παντοίαν μηχανὴν καὶ ἑλέπολιν κεκινηκότων, καὶ ὅλως δεινήν τινα καὶ ἄφυκτον κατ' αὐτῆς πηξαμένων πολιορκίαν, οὐ μόνον ἀνωτέραν ταῖς εὐχαῖς τοῦ κινδύνου τὴν πόλιν πεποίηκεν, ἀλλὰ καὶ τοῖς βαρβάροις δεινόν τε καὶ φοβερὸν ἐμβαλὼν δέος, οὕτω φεύγειν ἔπεισε διώκοντος μηδενός, ὡς ἐκ τῆς ἀτάκτου φυγῆς τε καὶ συγκλονήσεως τοὺς πλείστους διαφθαρῆναι, καὶ τῇ θαλάσσῃ καὶ ταῖς τῶν πολιορκουμένων χερσίν.*

*13. Ἦρος ἦν ὑποχώρησις καὶ θέρους λοιπὸν προσῄει διαδοχή· καὶ ὁ μὲν ἥλιος μάλα φλογώδης προσέβαλλε καὶ λαμπρός, ὄμβρος δὲ οὐδαμοῦ, λήϊον δὲ ἅπαν μεμάρανται καὶ πρὸς μοίρας δεινῶς ὑποκέκλιται, καί, πρὸς τὴν ἰδίαν μητέρα ἐλεεινῶς νενευκός, γάλακτος ἐζήτει ῥανίδας ἢ κακῶς ὑπέσχετο ἐναποθανεῖν ὅσον οὐκ ἤδη. Οἱ δὲ ἄνθρωποι καὶ τῷ φόβῳ βαλλόμενοι τοῦ λιμοῦ καὶ τῷ αὐχμῷ καταξηραινόμενοι καὶ τῇ σφοδρότητι τῶν ἀκτίνων καταφλεγόμενοι, παρεῖντο λοιπὸν καὶ ἀπελέγοντο τὴν ζωήν. Τί οὖν ἡ συμπαθὴς ἐκείνη καὶ ἐλεήμων ψυχή; Παρεῖδεν οὕτω δεινῶς κατατρυχομένην τὴν ποίμνην καὶ τοῖς ὅλοις ἐκτριβομένην; Οὐδαμῶς· ἀλλ' εἰς οὐρανὸν χεῖρας καὶ ὄμματα ἀνασχὼν καὶ τὸν νοῦν πρὸς τὸν Δεσπότην ἀνυψώσας τοῦ οὐρανοῦ καὶ αὐτὸν ἐκβοησάμενος, τὸν περιβάλλοντα τὸν οὐρανὸν ἐν νεφέλαις*[33]*, ὡς φησὶν ὁ προφήτης, καὶ ἑτοιμάζοντα τῇ γῇ ὑετόν, ἀνοίγοντά τε τὴν χεῖρα καὶ πᾶν ζῶον εὐδοκίας ἐμπιμπλῶν-*

---

[32]) Ἰωάνν. ιγ', 4 ἑξ.
[33]) Ψαλμ. ιμστ', 8.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:36:08 EEST - 3.16.217.113

*τα*[34], *τὸν συνήθη τῇ γῇ δίδωσιν ὑετὸν καὶ καταψύχει τοὺς ἐκτακέντας καὶ τὴν μάστιγα ἀναστέλλει τοῦ λιμοῦ. Οὐ μόνον δέ, ἀλλὰ καὶ ἄλλοτε, λοιμοῦ τοὺς ἀνθρώπους ἐπινεμομένου καὶ πάντας ἀθρόον ἐπιβοσκομένου καὶ πᾶσαν ἐλεεινῶς ἡλικίαν καταθερίζοντος, ἐπέχει ταῖς πρὸς Θεὸν ἱκεσίαις καὶ δάκρυσι τὴν φοράν, καὶ τὴν νομὴν ἵστησι τοῦ κακοῦ.*

*14. Ἐπιλείποι δ᾽ ἂν ἡμᾶς ὁ βίος τὰ θαύματα τούτου διηγουμένους*[35], *καὶ ὅσων τε καὶ ἡλίκων τὴν ἰδίαν ποίμνην ἔλυσε συμφορῶν, ὡς ἂν τις στερρὸς πρόβολος καὶ πύργος ἄσειστος πρὸς τὰς ἑκάστοτε τῶν δεινῶν ἑστὼς παντοίας ἐπιφοράς. Τὸν γὰρ Θεὸν ἔχων αὐτῷ προσκείμενον διὰ τὴν καθαρότητα τῆς ψυχῆς, μᾶλλον δ᾽ ἔνοικον τῇ ψυχῇ περιφέρων, τοῖς μὲν μαθηταῖς ἐκεῖθεν ἐπήγαζε τἀγαθά, κακῶν παντοίων ἀπαλλαγὴν καὶ κτῆσιν ἄφθονον μνηστευόμενος ἀγαθῶν, αὐτῷ δὲ τὰς τούτων σεσωσμένας προσῆγε ψυχάς, προσφορὰν τὴν ὄντως τιμίαν τε καὶ εὐπρόσδεκτον καὶ ἀνταξίαν τοῦ κόσμου παντός.*

*15. Ἀλλ᾽ οὕτω πάντοθεν τῆς κατ᾽ αὐτὸν Ἐκκλησίας εὐθυνομένης καὶ πλεῖστον ὅσον ἐπιδιδούσης ἐφ᾽ ἅπασιν ἀγαθοῖς, χρεία τις ἀναγκαία καὶ ἀπαραίτητος προσπεσοῦσα, ἀναγκάζει τὸν μέγαν ἐπὶ τὴν βασιλίδα τῶν πόλεων ἀφικέσθαι. Καὶ δὴ λοιπὸν ἀφικνεῖται καὶ προσδέχεται μὲν παρὰ βασιλέως καὶ τῶν ἐν τέλει καὶ παντὸς τοῦ ἱεροῦ τῆς Ἐκκλησίας συστήματος μεθ᾽ ὅ,τι πλείστης τιμῆς καὶ σεβάσματος, ὡς ἂν οὐκ ἀπὸ Κρήτης, ἀλλ᾽ οὐρανόθεν ἄγγελος καὶ ταμίας μεγάλων δωρεῶν αὐτοῖς ἀφιγμένος· διατρίβει δὲ χρόνον οὐ πάνυ συχνὸν καὶ πᾶσαν τὴν πόλιν τῆς ἐν τῇ ψυχῇ τοῦ θείου πνεύματος εὐωδίας πληροῖ, καὶ διαθρύπτει πεινῶσι τὸν ἄρτον τὸν λογικὸν καὶ οὐράνιον*[36], *καὶ διψῶντας τὸ ἁλλόμενον νᾶμα*[37] *ποτίζει τοῦ θείου πνεύματος, οὐ μὴν ἀλλὰ καὶ σωματικὸς ἑστιάτωρ τοῖς ἐνδεέσι γίνεται, καὶ πολλοὺς λιμῷ τηκομένους ἐμπίμπλησι, καὶ ἀδικουμένους ἀμύνει, ὀρφανῶν προΐσταται, καὶ ὑπερασπίζει χηρῶν, καὶ ῥύεται καταπονουμένους βιαίων χειρῶν.*

*16. Ἔπειτα δὲ καὶ ἐπανόδου μέμνηται. Καίτοι γε προειδώς τε καὶ προσημάνας ὡς οὐκέτι τὴν ἰδίαν ὄψεται ποίμνην, πλὴν δίδωσιν ἑαυτὸν ἄγειν τῷ κινοῦντι θείῳ πνεύματι, καὶ ὡς ἐνῆν ἅπτεται τῆς εἰς τὴν ποίμνην φερούσης, εἰς πλοῖον ἐμβάς. Καὶ προσίσχει μὲν τὸ πλοῖον τῇ Λέσβῳ, ὁ δὲ ἀοίδιμος τὸν χῶρον πυθόμενος, ὅστις εἴη, καὶ ὅτι δὴ κα-*

---

[34]) Ψαλμ. ιμδ΄, 16.
[35]) Ἀπήχησις τοῦ Ἑβρ. ια΄, 32.
[36]) Ἰωάνν. στ΄, 32 ἑξ.
[37]) Ἰωάνν. δ΄, 14.

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:36:08 EEST - 3.16.217.113

*λοῖτο Ἱερισσός, ἐνταῦθ' εἶπε δεῖ με τὴν εἰκόνα ἀποδοῦναι τῷ δεδωκότι Θεῷ. Χωρεῖ δὲ ἵλεως πρὸς ὃν ἐπόθει Θεὸν καὶ πρὸς ὃν ἐκ πάνυ τι νέας ὁρῶν ἡλικίας καὶ βίον ἅπαντα καὶ λόγον ἐρύθμιζε. Καὶ ὁ μὲν σύνεστιν ἤδη τοῖς οὐρανοῦ πολίταις, τὴν μακαρίαν ἑλίττων χορείαν περὶ τὸν πάντων βασιλέα, καὶ τοῦ ἀπορρήτου κάλλους αὐτοῦ κατατρυφῶν, καὶ τῇ ἀπροσίτῳ τῆς θεότητος αἴγλῃ λαμπόμενος. Τὸ δὲ τῆς θείας αὐτοῦ ψυχῆς ἐνδιαίτημα, τὸ σκῆνος τὸ ἱερόν, ἐν τῷ τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Ἀναστασίας ναῷ κατατίθεται, θησαυρὸς ἄσυλος, ὄλβος πολυτελής, πηγὴ θαυμάτων ἀείρροος, εἰς δόξαν Πατρός, Υἱοῦ, καὶ ἁγίου Πνεύματος, τῆς ἀνάρχου καὶ ὁμοουσίου θείας Τριάδος, τοῦ μόνου Θεοῦ καὶ Σωτῆρος ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
18/05/2024 19:36:08 EEST - 3.16.217.113